www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τοὺς Ὁσίους Πατέρας Βαρλαὰμ καὶ Ἰωάσαφ

Ἦχος πλ.β'

Ἅγιον Ὄρος

2018

# Κανὼν εἰς τοὺς Ὁσίους Πατέρας Βαρλαὰμ καὶ Ἰωάσαφ, οὗ ἡ Ἀκροστιχίς, «Ὁσίων δυάδα θείων ὑμνολογῶ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.β΄.

*ᾨδὴ Α΄ Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ὅσιων μέλψαι Πατέρων Λόγε Θεοῦ, ὕμνον παναρμόνιον, ἐφιέμενος τὸν νοῦν, τῷ φωτὶ καταύγασον τῷ σῷ, καὶ τῇ γλώττῃ μου δὸς χάριν τῷ ἐλέει σου.

Σιὼν τῆς ἄνω πολίτης καὶ οἰκιστής, Ἰωάσαφ γέγονας, ὑφηγήσεσι στοιχῶν τοῦ σοφοῦ καὶ θείου Βασλαάμ, τοῦ τῇ ἄνωθεν κελεύσει σοι φοιτήσαντος.

Ἰνδῶν τὸ κράτος κατέλιπες καὶ χλιδὴν τῆς πορφύρας ὅσιε, καὶ Χριστῷ τῷ Βασιλεῖ, πόθῳ διαπύρῳ τῆς ψυχῆς, ἠκολούθησας αὐτῷ μακαριώτατε.

*Θεοτοκίον.*

Ἵλεως Κόρη γενοῦ μοι ὡς ἀγαθή, τῷ ἐκδαπανήσαντι, πανασώτως τὸν καιρόν, τῆς ζωῆς μου καὶ τῆς τοῦ πυρός, καταδίκης, μὴ μνησθεὶς ὅλως ὁ δύστηνος.

*ᾨδὴ Γ΄ Οὐκ ἔστιν ἅγιος.*

Ὡς ἄλλος Πάτερ γεωργός, Βαρλαὰμ καθωράθης, σπείρων σπέρμα τῶν λόγων, τῶν ἐνθέων σου σοφέ, δι᾽ ὧν πολύχουν καρπῶν, τῷ Κυρίῳ ὅσιε προσήγαγες.

Νυκτὸς τῆς πλάνης ἀποδράς, συμβουλίᾳ τρισμάκαρ, Βαρλαὰμ τοῦ ὁσίου, προσηρμόσθης τῷ Χριστῷ, δι᾽ ὃν τὰ πάντα σοφέ, Ἰωάσαφ χαίρων καταλέλοιπας.

Διὰς ὁσίων ἐκλεκτή, καὶ ἁγία τῷ πάντων, ποιητῇ καὶ Δεσπότῃ, ἱκεσίαν ἐκτενῆ, προσάξατε καὶ ἡμεῖς, ὅπως λύσιν τύχοιμεν τῶν θλίψεων.

*Θεοτοκίον.*

Λιμὴν ὑπάρχεις ἀσφαλής, τῶν κλυδωνιζομένων ἐν πελάγει τοῦ βίου, ὡς τὸν πάντων ἐν γαστρί, σχοῦσα Παρθένε Ἁγνή, κυβερνήτην ἐξ Ἁγίου Πνεύματος.

*ᾨδὴ Δ΄ Χριστός μου δύναμις.*

Ὑψίστην Ὅσιε, ἐπιδειξάμενος, πολιτείαν ἐν ὄρεσι Βαρλαάμ, καὶ ἐρήμου γέγονας κατοικητήριον σεπτόν, τοῦ Ἁγίου Πάτερ Πνεύματος.

Ἀπαρνησάμενος, τῆς ματαιότητος, ἅπαν εἶδος ἐνέδωκας σεαυτόν, τῇ ἀσκήσει πάνσοφε, διὰ Χριστὸν τὸν Λυτρωτήν, Ἰωάσαφ ὃν ἐπόθησας.

Δολίου δράκοντος τὰ πανουργεύματα, ἐγκρατείᾳ Πατέρες καὶ προσευχῇ, ἄρδην κατεβάλετε, διὸ γερῶν παρὰ Χριστοῦ, οὐρανίων ἠξιώθητε.

*Θεοτοκίον.*

Ἀνομημάτων μου τὸ πλῆθος Ἄχραντε, ἱκετεύω παράβλεψον καὶ ὁδόν, τῷ δεινῷ ὑπάνοιξον, τῆς μετανοίας καὶ φλογός, τῆς φρικτῆς ὅπως ῥυσθήσωμαι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*ᾨδὴ Ε´ Τῷ θείῳ φέγγει σου.*

Ἀναδησάμενος φωταυγῆ, τῆς διδασκαλίας Βαρλαάμ, στέφανον Πάτερ τὴν ἄθεσμον, πλάνην τῶν εἰδώλων σοφέ, καὶ θεοστυγῆ, ἠμαύρωσας εἰς τέλος καὶ ἐξηφάνισας.

Θυμὸν τοῦ φύσαντος οὐδαμῶς, μάκαρ Ἰωάσαφ πτοηθείς, τὸν ἐκ Μαρίας ἐκήρυξας, γεννηθέντα ὄντως Θεόν, Χριστὸν Ἰησοῦν, ἐξ οὗπερ οὐρανίῳ στέφει κεκόσμησαι.

Ἐρήμου θρέμματα ἐκλεκτά, ὅσιοι Πατέρες προσευχῇ καὶ ἀγρυπνίᾳ τὸν ἅπαντα, καὶ νηστείᾳ βίον ὑμῶν, συντόνῳ σπουδῇ, καὶ πόνοις τῆς ἀσκήσεως διηνύσατε.

*Θεοτοκίον.*

Ῥαδίως χάρισαι ἀγαθή, πειρασμῶν ἐκφεύγειν τοῦ ἐχθροῦ, τῷ ταλαιπώρῳ ὡς εὔσπλαγχνος, τοῦ καθέλκοντός με ἀεί, δολίως ποιεῖν, παθῶν τῶν ψυχοφθόρων ἐπιτηδεύματα.

*ᾨδὴ ΣΤ´ Τοῦ βίου τὴν θάλασσαν.*

Ἰσάγγελον ἤνυσας, βιοτὴν ἐν ὑλικῷ, Θεοῦ θεράπων σώματι, Βαρλαὰμ καὶ πρὸς γνόφον ὡς ἐφικτόν, ἀνθρώπῳ ἐχώρησας, τῶν Θεοῦ μυστηρίων τρισμακάριστε.

Ὡς ἄλλος ἐξέλαμψας, ἑωσφόρος φωταυγής, ἐκ τῆς ἑώας Ὅσιε, Ἰωάσαφ τῆς πλάνης τὸν σκοτασμόν, διώκων μακάριε, τῶν ἐνθέων σου λόγων τοῖς πυρσεύμασι.

Νεώσαντες Ὅσιοι, τῆς ψυχῆς ὡς γεωργοί, τὴν γῆν πανολβιώτατοι, τῆς ἀσκήσεως πόνοις πρὸς οὐρανόν, Πατέρες ἐφθάσατε, τῶν ἁγίων Θεοῦ πρὸς τὰ σκηνώματα.

*Θεοτοκίον.*

Ἰλύος με Πάναγνε, τῶν ἀθέσμων ἡδονῶν, τὸν δοῦλόν σου ἐξάγαγε, τῇ χειρί σου εὐσπλάγχνως τῇ παναλκεῖ, καὶ στῆσον τοὺς πόδας μου, ἐπὶ πέτραν τῶν θείων παραινέσεων.

*Ὠδὴ Ζ΄ Δροσοβόλον μέν.*

Ὑποδείγμασι θεόσοφε ἐτράνωσας, μάταιον τῶν τοῦ κόσμου τερπνῶν, καὶ πρὸς ἔρωτα τῶν ἐνθέων, αὖθις τὴν ψυχήν, ἐξώθησας μάκαρ Βαρλαάμ, τέκνου τοῦ σοῦ καὶ τοῦ φωτός, υἱὸν ἀπέδειξας.